UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Caput XXII. Quomodo Ioannes sede sua injuste pulsus est: & de tumultu subsecuto: deque igne in Ecclesiam coelitus immisso. Et quomodo Cucusum missus fuerit in exilium.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

## Caput XXII.

*Quomodo Joannes sede sua injuste pulsus est: & de tumultu subsecuto: deque igne in Ecclesiam cœlitus immisso. Et quomodo Cucusum missus fuerit in exilium.*

Ab hinc ii qui ferventiores erant ex plebe, Joannem custodire cœperunt, noctu atque interdiu Episcopalem domum alternis circumsidentes. Porro Episcopi qui adversus Joannem convenerant, Ecclesiasticas leges calcari conquerentes, damnationis sententiam in eum latam, utpote justissimam, in semetipsos recipere se ajebant: jubebantque ut ex civitate excederet: alioqui nec populum unquam quieturum esse. Sed cum quidam ab Imperatore missus advenisset, & minaciter præcepisset Joanni ut id faceret, insciis populi custodibus qui ex plebe ipsum custodiebant, clam egressus est: id tantummodo questus, quòd contra leges per vim ejiceretur, denegato ipsi judicio, quod homicidis & maleficis & adulteris, juxta leges concederetur. Parvoque impositus navigio, protinus in Bithyniam transportatur: atque inde confestim iter arripuit. Nonnulli vero ex Joannis insidiatoribus, prævidentes si populus id sensisset, fore ut insequeretur ac rursus eum redire cogeret, fores Ecclesiæ occludere properarunt. Porro qui in plateis erant, cum hæc cognovissent, alii ad mare cucurrerunt, tanquam eum assecuturi: alii metu conterriti, fugam arripuerunt, cum post tantum tumultum tantamque perturbationem, seditio & Imperatoris ira exspectaretur. Hi vero qui in Ecclesia erant, adhuc magis aditus obstruebant, ad portas confluendo, & semetipsos mutuo impellendo. Tandem vero ægre portas magna vi reserarunt, cum alii eas lapidibus perfregissent, alii ad se retraherent, & turbam quæ à tergo erat, retrorsum repellerēt. Dum hæc aguntur, ignis repente exortus Ecclesiam undiquaq; corripuit: & cum universam percucurrisset, ædem quoq; amplissimam Senatus, quæ illi ad meridiem vicina erat, combussit. Cujus rei culpam sibi mutuo adscribebāt. Joannis quidem insidiatores, accusando fautores illius, quod Synodi judicium moleste tulissent:

## Κεφ. κϐʹ.

Ὡς ἐξηλάθη τοῦ θρόνου ἀδίκως ὁ ἰωάννης, καὶ περὶ τοῦ γενομένου θορύβου· καὶ περὶ τοῦ πεμφθέντος τῇ ἐκκλησίᾳ θεηλάτου πυρὸς, καὶ περὶ τῆς εἰς κουκουσὸν αὐτοῦ ἐξορίας.

Ἐξ ἐκείνου δὲ τὸν ἰωάννην ἐφύλαττον οἱ τοῦ λαοῦ σπουδαιότεροι, νύκτωρ καὶ μεθ' ἡμέραν, ἀμοιβαδὸν παρακαθήμενοι τὸν ἐπισκοπικὸν οἶκον· σύγχυσιν δὲ ἐπαιτιώμενοι τῶν ἐκκλησιαστικῶν νόμων, οἱ κατ' αὐτοῦ συνεληλυ- B θότες ἐπίσκοποι, ἐπὶ σφᾶς αὐτοὺς ἔφασαν δικαιοτάτην οὖσαν ἀναδέχεσθαι τὴν ἐπ' αὐτῷ κρίσιν· καὶ τῆς πόλεως αὐτὸν ἐξιέναι ἐκέλευσαν· ἄλλως γὰρ μὴ δὲ τὸ πλῆθος ἠρεμήσειν. παραγενομένου δὲ τοῦ ἀπὸ βασιλέως, καὶ ταῦτα σὺν ἀπειλῇ ποιεῖν προστάξαντος, λαθὼν τοὺς ἀπὸ τοῦ λαοῦ φύλακας ἐξῆλθε· τοσοῦτον μεμψάμενος, ὅτι γε παρανόμως πρὸς βίαν ἐλαύνεται, μὴ ἀξιωθεὶς κρίσεως, ἧς καὶ ἀνδροφόνοις καὶ γόησι καὶ μοιχοῖς μέτεστιν ἐκ νόμων· καὶ διὰ μικροῦ σκάφους περαιοῦται αὐτίκα εἰς βιθυνίαν· ἐκεῖθέν τε παραχρῆμα εἴχετο τῆς C ὁδοῦ. προϊδόντες δέ τινες τῶν ἐπιβουλευόντων αὐτῷ, ὡς εἰ αἴσθοιτο ὁ λαὸς ἐπιδιώξει, καὶ πάλιν βιάσεται ἐπανελθεῖν, φθάσαντες ἀποκλείουσι τὰς θύρας τῆς ἐκκλησίας· ἐπεὶ δὲ οἱ ἀνὰ τὰς ἀγυιὰς ἔγνωσαν, οἱ μὴν δρομαῖοι ἠπείγοντο πρὸς θάλασσαν, ὡς δὴ καταληψόμενοι αὐτόν, περιδεεῖς γινόμενοι, εἰς φυγὴν ἠλαύνοντο, ὡς ἐπὶ τοσούτῳ θορύβῳ καὶ ταραχῇ στάσεως καὶ βασιλέως ὀργῆς προσδοκωμένης· οἱ δὲ ἐν τῇ ἐκκλησίᾳ ἔτι μᾶλλον ἔφραττον τὰς ἐξόδους, ἐπὶ D ταύτας συῤῥέοντες, καὶ περιωθοῦντες ἀλλήλους· μόλις δὲ τὰς θύρας ἐπέτασαν σὺν βίᾳ πολλῇ, τῶν μὴν λίθοις καταραξάντων· τῶν δὲ πρὸς αὐτοὺς ἀνθελκόντων, καὶ τὸν κατὰ νώτου ὄχλον, εἰς τοὐπίσω ἀπωθουμένων· ἐν τούτῳ δὲ πῦρ ἐξαπίνης πάντοθεν τὴν ἐκκλησίαν ἐπεβόσκετο καὶ πᾶσαν διαδραμὸν, ἐνεμήθη καὶ τὸν παρακείμενον αὐτῇ ἐκ μεσημβρίας μέγιστον οἶκον τῆς συγκλήτου βουλῆς· τούτου δὲ τὴν αἰτίαν ἀντεπῆγον ἀλλήλοις· οἱ μὴν ἰωάννῃ ἐπιβουλεύοντες, τοὺς τὰ αὐτοῦ φρονοῦντας ἐπαιτιώμενοι, ὡς χαλεπήναντας πρὸς τὴν τῆς συνόδου ψῆφον

οἱ δὲ, συκοφαντεῖσθαι ἰσχυριζόμενοι, καὶ τὴν ἐκείνων πρᾶξιν σφίσι περιτρέπειν, ἅμα τῇ ἐκκλησίᾳ καὶ αὐτοὺς πυρπολῆσαι βουλευσαμένων· ἀπὸ δείλης δὲ ὀψίας μέχρις ἕω τοῦ πυρὸς περαιτέρω χωροῦντος, καὶ πρὸς τὰς ἔτι συνεστώσας ὕλας ἕρποντος, οἱ μὲν ἐπιδιώξαντες ἰωάννην εἰς κουκουσὸν δίηγον τῆς ἀρμενίας, βασιλέως γράμματι καταδικασθέντα τὴν ἐκεῖσε οἴκησιν· οἱ δὲ τοὺς ξυνελθόντας αὐτῷ ἐπισκόπους καὶ κληρικοὺς ἀγαγόντες, ἐν χαλκηδόνι καθεῖρξαν· ἄλλοι δὲ περιϊόντες ἀνὰ τὴν πόλιν, τοὺς καταμηνυομένους τὰ αὐτοῦ φρονεῖν, συνελάμβανόν τε καὶ ἐφρούρουν καὶ ἀναθεματίζειν αὐτὸν ἠνάγκαζον.

---

## Κεφ. κγ΄.

Περὶ ἀρσακίου τοῦ μετὰ ἰωάννην προχειρισθέντος, καὶ ὅσα κακὰ τοῖς προσκειμένοις ἰωάννῃ εἰργάσατο. καὶ περὶ τῆς ὁσίας νικαρέτης.

ΟΥ΄ πολλῷ δὲ ὕστερον χειροτονεῖται κωνσταντινουπόλεως ἐπίσκοπος ἀρσάκιος, νεκταρίου τοῦ πρὸ ἰωάννου ταύτην τὴν ἐπισκοπὴν διανύσαντος ἀδελφός· ἀνὴρ πρᾶος, καὶ περὶ τὸ θεῖον εὐλαβής· ἔβλαψαν δὲ τὴν ἐν τῷ πρεσβυτερίῳ περὶ αὐτοῦ κρατοῦσαν δόξαν κληρικοί τινες, ποιοῦντες μὲν ἅπερ ἐβούλοντο· αὐτῷ δὲ ταῦτα ἀνατιθέντες· διέβαλε δὲ αὐτὸν μάλιστα καὶ τὰ συμβάντα μετὰ ταῦτα περὶ τοὺς ἰωάννου ἐπαινέτας· ἐπεὶ γὰρ αὐτῷ καὶ τοῖς αὐτῷ συνοῦσι κοινωνεῖν ἢ συνεύχεσθαι οὐκέτι ἀνεκτὸν ἡγοῦντο, ἀναμεμιγμένων αὐτοῖς τῶν ἐπιβούλων ἰωάννου· καθ᾽ ἑαυτοὺς δὲ, ὡς εἴρηται συνιόντες ἐν ταῖς ἐσχατιαῖς τῆς πόλεως ἐκκλησίαζον, κοινοῦται βασιλεῖ περὶ τούτου· συνηγμένοις δὲ συνταγματάρχης ἅμα στρατιώταις ἐμβαλεῖν ἐπιτραπεὶς, τὸ μὲν πλῆθος παίων ξύλοις καὶ λίθοις, εἰς φυγὴν τρέπει· τοὺς δὲ ἐπισημότερον καὶ προθυμότερον τὰ ἰωάννου ζηλοῦντας, ἐν φρουρᾷ ποιεῖται· ἐνταῦθα δὲ, οἷα συμβαίνειν φιλεῖ, στρατιωτῶν ἐπιτραπέντων νεανιεύεσθαι, γύναια πρὸς βίαν τοῦ κόσμου, τῶν μὲν ὅρμους τε ζώνας χρυσοῦς καὶ περιδέραια καὶ στρεπτοὺς λῃζομένων· τῶν δὲ, σὺν αὐτοῖς λοβοῖς ἐξελκόντων τὰ ἐνώτια· μεγίστης δὲ ταραχῆς καὶ

A isti vero calumniam se pati asseverantes, sibique imputari facinus illorum, qui ipsos unà cum Ecclesia incendere voluissent. Porro dum ignis à vespera usq; ad diluculum ad ulteriora progreditur, & ad materias quæ adhuc integræ stabant, serpit, hi qui Joannem prosequebantur, Cucusum Armeniæ eum perduxerunt, ubi degere literis Principis jussus fuerat. Alii Episcopos & Clericos qui unà cum Joanne profecti fuerant, Chalcedonem abductos, custodiæ manciparunt. Alii per urbem circumeuntes, eos qui delati fuerant quòd Joanni
B faverent, comprehenderunt; & in custodiam datos, ut Joanni anathema dicerent, coegerunt.

---

## Caput XXIII.

*De Arsacio qui post Ioannem electus est, & quantis malis affecerit eos qui Ioanni favebant. Item de Beata Nicarete.*

HAud multo post Constantinopolitanæ Ecclesiæ Episcopus ordinatur Arsacius, frater Nectarii, ejus qui ante
C Joannem Episcopatum illum rexerat: vir mansuetus & erga Deum religiosus. Verum laudem illam quam omnium consensu adeptus fuerat Presbyter, imminuerunt postea Clerici quidam, qui quodcunque ipsis libitum fuerat, agebant: facta vero illi imputabant. Sed præcipue infamarunt illum ea quæ Joannis fautoribus postmodum acciderunt. Nam cum illi haudquaquam sustinerent, nec cum ipso, nec cum consortibus ipsius, communicare aut precationem facere, eo quod permixtos illis videbant Joannis inimicos: atque idcirco seorsum, ut diximus, congregati, in ex-
D tremis civitatis partibus collectas celebrarent; ipse de ea re ad Imperatorem retulit. Tribunus itaque cum militibus in congregatos impetum facere jussus, plebem quidem fustibus & saxis cædens, fugere compulit. Nobiliores vero, & eos qui Joannis partes ardentius tuebantur, custodiæ tradidit. Tum vero sicut fieri solet, cum militibus licentia conceditur, mulieres ornatu suo per vim spoliatæ sunt, dum alii monilia, Zonas aureas & torques diripiunt: alii inaures simul cum auriculis ipsis detrahunt. Cumque ingens perturbatio ac